**βραχυκαταληξία**

Hephaest. 69. 16 sqq. ἄτμητα δέ ἐστι τὰ τηλικαῦτα, ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τι τεκμήριον ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκαταληξίαν μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποιήματα, οἷον ἐφύμνιον ἢ ἀναφώνημα.

Hephaest. 70. 3 sqq. κατὰ περιορισμοὺς δὲ ἀνίσους ἐστίν, ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει κατάληξιν ἢ βραχυκαταληξίαν μεταξύ, οὐ μέντοι ἴσοις μεγέθεσι ταύτην ἐπιζευγνυμένην ἀεί, οἷα μάλιστα φιλεῖ γίνεσθαι ἐν ταῖς παρόδοις τῶν χορῶν· ἐκεῖ γὰρ μετὰ δέκα ἀναπαιστικά, λόγου χάριν, καὶ κατάληξιν ἐπάγουσιν εὐθὺς ὅμοια μὲν καὶ ἀναπαιστικά, οὐ μέντοι τῶν ἴσων συζυγιῶν.

Schol. A in Hephaest. 173. 9 sqq. βραχυκαταληξίαν] βραχυτέρου κώλου ἐπιφοράν. τοῦτο γὰρ ὡσπερεὶ τεκμήριον ἐστι μακροῖς ἐπενεχθέν. [*M.E.*]